τοῦτ' αὐτός, ὦ Πάν· ἀλλὰ μὴν προcεύχομαι
ἀεὶ παριών coι—καὶ φιλανθρωπεύcομαι.

CΙΜΙΧΗ

ὢ δυcτυχήc, ὢ δυcτυχήc, ὢ δυcτυχήc.
(Γε.) ἄπαγ' εἰc τὸ βάραθρον· τοῦ γέροντόc τιc γυνὴ
προελήλυθεν.
(Cιμ.) τί πείcομαι; τὸν γὰρ κάδον
ἐκ τοῦ φρέατοc βουλομένη τοῦ δεcπότου,
εἴ πωc δυναίμην, ἐξελεῖν αὐτὴ λάθραι,
ἀνῆψα τὴν δίκελλαν ἀcθενεῖ τινι
καλωιδίωι caπρῶι διερράγη τέ μοι
τοῦτ' εὐθύc.
⟨Γε.⟩ ὀρθῶc.
⟨Cιμ.⟩ ἐνcέcεικα θ' ἀθλία
καὶ τὴν δίκελλαν εἰc τὸ φρέαρ μετὰ τοῦ κάδου.
Γε. ῥῖψαι τὸ λοιπόν coι cεαυτήν ἐcτ' ἔτι.
(Cιμ.) ὁ δ', ἀπὸ τύχηc κόπρον τιν' ἔνδον κειμένην
μέλλων μεταφέρειν, περιτρέχων ταύτην πάλαι
ζητεῖ βοᾶι τε—καὶ ψοφεῖ γε τὴν θύραν.
Γε. φεῦγ' ὦ πονηρά, φεῦγ'. ἀποκτενεῖ cε, γραῦ.
μᾶλλον δ' ἀμύνου.
Κν. ποῦ 'cτιν ἡ τοιχωρύχοc;
(Cιμ.) ἄκουcα, δέcποτ', ἐνέβαλον.
(Κν.) βάδιζε δὴ
εἴcω.
(Cιμ.) τί ποιεῖν δ', εἰπέ μοι, μέλλειc;
(Κν.) ἐγώ;
δήcαc καθιμήcω cε.
(Cιμ.) μὴ δῆτ', ὦ τάλαν.
(Κν.) ταὐτῶι γε τούτωι cχοινίωι, νὴ τοὺc θεούc.